*Αἰνέα, πρῶτον μὲν Ἥραν*
*Παρθενίαν κελαδῆσαι,*
*γνῶναί τ᾽ ἔπειτ᾽, ἀρχαῖον ὄνειδος ἀλαθέσιν*
*λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν.*
*ἐσσὶ γὰρ ἄγγελος ὀρθός,*
*ἠϋκόμων σκυτάλα Μοι-*
*σᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·*
*εἶπον δὲ μεμνᾶσθαι Συρα-*
*κοσσᾶν τε καὶ Ὀρτυγίας·*
*τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,*
*ἄρτια μηδόμενος, φοινικόπεζαν*
*ἀμφέπει Δάματρα λευκίπ-*
*που τε θυγατ'ρὸς ἑορτάν*
*καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν*
*λύραι μολπαί τε γινώσκοντι. μὴ θράσ-*
*σοι χρόνος ὄλβον ἐφέρπων,*
*σὺν δὲ φιλοφ'ροσύναις εὐ-*
*ηράτοις Ἁγησία δέξαιτο κῶμον*
*οἴκοθεν οἴκαδ᾽ ἀπὸ Στυμ-*
*φαλίων τειχέων ποτινισόμενον,*
*ματέρ᾽ εὐμήλοιο λείποντ᾽ Ἀρκαδίας.*
*ἀγαθαὶ δὲ πέλοντ᾽ ἐν χειμερίᾳ*
*νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμ-*
*φθαι δύ᾽ ἄγκυραι. θεός*
*τῶνδε κείνων τε κ'λυτὰν αἶσαν παρέχοι φιλέων.*
*δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων*
*ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις*
*Ἀμφιτρίτας, ἐμῶν δ᾽ ὕ-*
*μνων ἄεξ᾽ εὐτερπὲς ἄνθος.*